ὥσπερ ἡ μὲν τέφρα οὐκ ἐπιρρεῖ· τὸ δ' ἀπὸ τῆς συ- A
κῆς, ἀεὶ ἐπιρρεῖ, οὐκ ἀναλισκομένου τοῦ ὑγροῦ τῇ
συκῇ. ιθ Διὰ τί ἔνια τῶν φυτῶν ἀεὶ κε-
νὸν φέρει τὸν καυλόν; ἢ ὧν ἀνάγκη ἀσθενῆ φύσιν
....... κ Διὰ τί ἐν τῇ Ἀττικῇ οἱ μὲν
ἄλλοι καρποὶ, γλυκύτατοι γίνονται, τὸ δὲ θύ-
μον, δριμύτατον; καίτοι καὶ τοῦτο καρπός τίς
ἐστιν ..... ὥστε οὐ πολὺ ὑγρὸν τὰ φυόμενα
ἔχει. ὅσα μὲν οὖν φύσει γλυκέα ἐστὶ, διὰ με- B
τριότητα τοῦ ἐνυπάρχοντος ὑγροῦ, ὅταν ἀπαλείψῃ
ὁ ἥλιος τὸ πλεῖστον, τὸ ὑπολειπόμενον ῥᾳδίως
πέπτεται. τὸ γὰρ πολὺ, ἔργον πεπᾶναι· τὸ δὲ
μέτριον, ῥᾷον. ὥστε γίνονται οἱ φύσει γλυκεῖς,
γλυκύτεροι. ἐν δὲ τοῖς φύσει ξηροῖς τε καὶ
μὴ γλυκέσι καρποῖς, λείπεται δι' ὀλιγότητα
τὸ οἰκεῖον. τοῦτο δ' ἐστὶν ἥκιστα γλυκύ. ἀφαι-
ρεῖται γὰρ ὁ ἥλιος τὸ γλυκύτατον καὶ κου- C
φότατον· οὗτοι δὲ οὐκ ἔχουσι περιττὸν [ὑγρὸν,]
ὥσπερ οἱ ἄλλοι καρποί. κα Διὰ τί γλή-
χων καὶ τὰ λείρια καὶ τὰ κρόμμυα τὰ κρεμά-
μενα, ὑπὸ τὰς τροπὰς ἀνθεῖ; ἢ ἐνυπάρχει αὐ-
τοῖς τροφὴ ἄπεπτος, ἣ τοῦ μὲν χειμῶνος οὐ
πέττεται διὰ ψῦχος· ὑπὸ δὲ τροπὰς πεττομέ-
νης διὰ τὴν ὥραν, ἡ αὔξησις γίνεται; αὕτη
δὲ, διὰ τὸ μὴ ἔχειν ἐπίρρυσιν, ταχὺ μαραίνε-
ται. οὐ γάρ τινα ἔχουσα ἀρχὴν, οὐδέ τινα ἐ- D
πίρρυσιν, ἀποξηραίνεται· ὥσπερ Σκύθαις, διὰ
τὸ πολλὴν τὴν χιόνα γίνεσθαι, συμβαίνει τὸν
σῖτον μένειν καὶ ταχὺ ἀνατρέχειν. κβ Διὰ
τί τὸ κρόμμυον [μόνον] οὕτως περιττῶς δά-
κνει τοὺς ὀφθαλμούς; (δι' ὃ καὶ τοὔνομά φα-
σι τοῦτ' ἔχειν αὐτὸ, ὡς τὴν κόρην ποιεῖν
συμμύειν) ἡ δὲ ὀρίγανος, οὔ, οὐδὲ ἄλλα δρι-
μέα ὄντα; καὶ γὰρ τὸ ἀνάρρινον, μᾶλλον δάκνον, E
οὐ ποιεῖ ὁμοίως δακρύειν προσφερόμενον·
τὸ δὲ, προσφερόμενον, καὶ κατατρωγόμενον.
ἢ ὅτι διαφοραὶ πολλαὶ ἀκολουθοῦσιν ἑκάστοις
τῶν δριμέων, ἃ ποιεῖ τὴν ἰδίαν ἑκάστου δύνα-
μιν; τὸ μὲν οὖν ἀνάρρινον, διὰ τὸ θερμότερον
εἶναι, ξηραντικώτερόν ἐστι τῆς γινομένης ὑπ' αὐ-
τοῦ συντήξεως· ἐπεὶ ποιεῖ γε δάκρυον ἐσθιόν-
τι· προσφερόμενον δὲ, οὔ, ὅτι οὐκ ἀπατμίζει
ἀπ' αὐτοῦ λεπτόν τι· ξηρότερον γάρ ἐστι καὶ F
θερμότερον. ἡ δὲ ὀρίγανος, καὶ τὰ τοιαῦτα,
ξηρά ἐστιν ἠρέμα. ἔδει δὲ τὸ μέλλον δάκρυον
ποιήσειν, δηκτικὸν καὶ ὑγρὸν εἶναι καὶ γλίσχρον.

quò humor cineris quidem non perpetuò affluit: fici verò irrequieto confluuio manat, vtpote cùm arboris succus cõsumi ex toto non possit. 19 Cur stirpium nonnullæ caulem semper edant inanem? An illis, quarũ natura imbecillior est, has rarum, inanémque emittere caulem, necesse est. 20 Cur in terra Attica fructus cæteri dulcissimi fiũt, thymũ verò acerrimũ est, cùm id etiã ipsum fructus quidem existat? An quòd ager ille tenuis, siccúsq. est: quamobrem non multũ humoris cõtinent, quæ in eo nascuntur. Ergo quæ dulcia sua constant natura, hæc ob humoris cõtenti mediocritatẽ, vbi Sol partẽ cõsumpsit maximam, facilè reliquæ cõcoquuntur: etenim multũ cõcoqui negotiũ magnũ est, mediocre expeditius confici potest. Vnde fit, vt fructus qui lege suæ naturæ dulces creantur, dulciores euadũt, qui sicci è natura, minimèq. dulces proueniũt, suã ob inopiam tantũ humoris retinent, quantum suo conueniat generi, quod dulce nequaquã est. Sol autem quantum dulcissimum sit, & leuissimum, eximit. Itaque acerrimi relinquuntur, qui humore superuacuo carent, quem fructus cæteri obtinent. 21 Cur pulegium, & lirium, & cepe, suspensa florent solstitij tempore? An inest crudum in his alimentum, quod in hyeme concoqui ex frigore nequit, sic solstitio ex calore concoquens auget. Vtrum quia influxu carent assiduo, breui marcescũt. Etenim quæ nullum alendi initium, nullum influxum assiduum habent, intereunt, exiccantúrque. Qua de causa accidit apud Scythas, vt frumentum diu in terra maneat, propter copiam niuis: & vbi emerserit, celeriter crescat. 22 Cur cepe vnum tam acriter mordere oculos potest? vnde nomen quoque à Græcis κρόμμυον impositum putãt, perinde quasi pupillam comprimi cogeret. Origanus verò nihil huiusmodi facit, nec aliud quippiam ex cæteris, quanquam acre, neque enim nasturtium, quod mordacius est, oblatum oculis efficit æquè vt lacrymæ profluant: ac cepe & cùm oculis admouetur, & cùm comeditur, lacrymas mouet. An quòd acrium genus discrimine euariat numeroso, quo sua cuiq. vis consistit, ratáque habetur. Nasturtium ergo, quia calidius est, resiccare quod colliquauerit, amplius potest, nam extrudere lacrymam, cùm editur, potest: admotum tamen ad oculos, nihil propterea mouet, quia nullum mittit vaporem: est enim id & siccius, & calidius. Origanus, cæteráque id genus, calida sunt leniter, & sicca. Quod lacrymas autem moueat, mordax id esse debet, & humidum, & lentum.